A αἱ δὲ λίαν βραχύκωλοι, οὐ περίοδος γίγνεται· προπετῆ οὖν ἄγει τὸν ἀκροατήν. τῆς δὲ ἐν κώλοις λέξεως, ἡ μὲν, διῃρημένη ἐστίν· ἡ δὲ, ἀντικειμένη. διῃρημένη μὲν, οἷον, Πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων, καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων. ἀντικειμένη δὲ, ἐν ᾗ, ἑκατέρῳ τῷ κώλῳ, ἢ πρὸς ἐναντίῳ ἐναντίον σύγκειται, ἢ ταὐτὸ ἐπέζευκται τοῖς ἐναντίοις· οἷον, Ἀμφοτέρους B δ' ὤνησαν, καὶ τοὺς ὑπομείναντας, καὶ τοὺς ἀκολουθήσαντας· τοῖς μὲν γὰρ, πλείω τῆς οἴκοι προσεκτήσαντο· τοῖς δὲ, ἱκανὴν τὴν οἴκοι κατέλιπον. ἐναντία, ὑπομονὴ, ἀκολούθησις· ἱκανὸν, πλεῖον. ὥστε καὶ τοῖς χρημάτων δεομένοις, καὶ τοῖς ἀπολαῦσαι βουλομένοις· ἀπόλαυσις κτήσει ἀντίκειται. καὶ ἔτι, Συμβαίνει πολλάκις ἐν ταύταις καὶ τοὺς φρο- C νίμους ἀτυχεῖν, καὶ τοὺς ἄφρονας κατορθοῦν· εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν, οὐ πολὺ δὲ ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης ἔλαβον· πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δ' Ἄθω διορύξας. καὶ φύσει πολίτας ὄντας, νόμῳ τῆς πόλεως στέρεσθαι· Οἱ μὲν γὰρ αὐτῶν, κακῶς ἀπώλοντο· οἱ δ', αἰ- D σχρῶς ἐσώθησαν· ἰδίᾳ μὲν, τοῖς βαρβάροις οἰκέταις χρῆσθαι· κοινῇ δὲ, πολλοὺς τῶν συμμάχων περιορᾷν δουλεύοντας· ἢ ζῶντας ἕξειν, ἢ τελευτήσαντας καταλείψειν. καὶ ὃ εἰς Πειθόλαόν τις εἶπε καὶ Λυκόφρονα ἐν τῷ δικαστηρίῳ, Οὗτοι δ' ὑμᾶς, οἴκοι μὲν ὄντες, ἐπώλουν· ἐλθόντες δ' ὡς ἡμᾶς, ἐώνηνται. ἅπαντα γὰρ ταῦτα ποιεῖ τὸ εἰρημένον. ἡδεῖα δέ ἐστιν ἡ τοιαύτη λέξις, E ὅτι τὰ ἐναντία γνωριμώτατα, καὶ παράλληλα μᾶλλον γνώριμα· καὶ ὅτι ἔοικε συλλογισμῷ· ὁ γὰρ ἔλεγχος, συναγωγὴ τῶν ἀντικειμένων ἐστίν. ἀντίθεσις μὲν οὖν τὸ τοιοῦτόν ἐστι. παρίσωσις δὲ, ἐὰν ἴσα τὰ κῶλα· παρομοίωσις δὲ, ἂν ὅμοια τὰ ἔσχατα ἔχῃ ἑκάτερον τῶν κώλων. ἀνάγκη δὲ ἢ ἐν ἀρχῇ, ἢ ἐπὶ τελευτῆς ἔχειν. καὶ ἀρχῇ μὲν, ἀεὶ τὰ ὀνόματα· F ἡ δὲ τελευτὴ, τὰς ἐσχάτας συλλαβὰς, ἢ τοῦ αὐτοῦ ὀνόματος πτώσεις, ἢ τὸ αὐτὸ ὄνομα· ἐν ἀρχῇ μὲν, τὰ τοιαῦτα· Ἀγρὸν γὰρ ἔλαβεν ἀργὸν παρ' αὐτοῦ·

eos, qui longis colis vtuntur. Quæ verò nimis breuia cola habent, non fiunt periodi. In præceps igitur agunt auditorem. Quæ verò in colis est elocutio, vna quidem distincta est: altera verò opposita. Distincta quidem, vt, Admiratus sum sæpenumero eos, qui conciliabula coegerunt, & gymnica certamina instituerunt. Opposita verò, in qua per vtrumque colum aut contrario contrarium componitur, aut idem iungitur contrariis. Vtrisque autem profuerunt & qui remanserunt, & qui secuti sunt. illis enim plura iis, quæ domi essent, acquisiuerunt: his verò satis eorum, quæ domi essent, reliquerunt. Contraria mansioni consecutio: ei, quod satis est, id, quod plus est. Quare & pecuniarum indigentibus, & frui volentibus, fruitio acquisitioni opponitur. Et præterea, contingit sæpe in his & prudentes aduersa fortuna vti, & imprudentes rectè agere. Statim quidem fortium præmia obtinuerunt: non multo post imperium maris sumpserunt. Nauigasse quidem per terram: ambulasse verò per mare: Cùm Hellespontum quidem iunxisset, Athon verò perfodisset. Et natura ciues, qui sunt, per legem ciuitate priuari. Alij enim ipsorum malè perierunt: alij verò turpiter seruati sunt. Et priuatim quidem barbaris seruis vti: publicè verò multos ex sociis despicere seruientes. Aut viuentes habituros: aut mortuos relicturos. Et quod in Pitholaum quidam dixit, & Lycophronem in iudicio. Isti autem vos domi manentes vendebant: profecti verò ad nos empti sunt. Omnia enim hæc efficiunt id, quod dictum est. Ac iucunda est eiusmodi elocutio: quia contraria notissima, & iuxta se posita notiora sunt: & quia videntur similia syllogismo: elenchus enim collectio oppositorum est. Ac oppositio quidem eiusmodi est. Compar verò, si æqualia sint cola. Et assimilatio, si similes exitus habeant vtraque ex colis. Necesse verò est aut in principio, aut in fine habere. Et principium quidem semper nomina: finis verò extremas syllabas. Aut eiusdem nominis casus. Aut idem nomen. In principio quidem sic: Agrum accepit ægrũ ab ipso: Placati donis fuerunt, pacatique ore. In fine autem: Non putarunt ipsum puerum peperisse, sed ipsius caussam fuisse. In cura quidem plurima, in spe verò

Δωρητοί τ' ἐπέλοντο· παράρρητοί τ' ἐπέεσσιν· ἐπὶ τελευτῆς δὲ, ᾠήθησαν αὐτὸν παιδίον τετοκέναι, ἀλλ' αὐτοῦ αἴτιον γεγονέναι. Ἐν πλείσταις δὲ φροντίσι, καὶ ἐν ἐλαχίσταις